UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

Caput XXII. Epistola Synodi Hierosolymitana pro Athanasio.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

A

Κεφ. κβ'.

Ἐπιστολὴ τῆς ἐν Ἱεροσολύμοις συνόδου ὑπὲρ Ἀθανασίου.

Ἡ ἁγία σύνοδος ἡ ἐν Ἱεροσολύμοις συναχθεῖσα, τοῖς ἐν Αἰγύπτῳ καὶ Λιβύῃ, καὶ τοῖς ἐν Ἀλεξανδρείᾳ πρεσβυτέροις καὶ διακόνοις καὶ λαῷ, ἀγαπητοῖς καὶ ποθεινοτάτοις ἀδελφοῖς, ἐν κυρίῳ χαίρειν.

Κατ' ἀξίαν τῷ τῶν ὅλων θεῷ εὐχαριστεῖν οὐκ ἀρκοῦμεν ἀγαπητοί, ἐφ' οἷς θαυμασίοις ἐποίησε πάντοτε, ἐποίησε δὲ καὶ νῦν μετὰ τῆς ὑμετέρας ἐκκλησίας, τὸν ποιμένα ὑμῶν καὶ κύριον καὶ συλλειτουργὸν ἡμῶν Ἀθανάσιον ἀποδοὺς ὑμῖν. τίς γὰρ ἤλπισέ ποτε ταῦτα ὀφθαλμοῖς ἰδεῖν, ἃ νῦν ὑμεῖς ἔργῳ ἀπολαμβάνετε; ἀλλ' ἀληθῶς αἱ εὐχαὶ ὑμῶν εἰσηκούσθησαν παρὰ τῷ τῶν ὅλων θεῷ, τῷ κηδομένῳ τῆς ἐκκλησίας αὐτοῦ, καὶ ἐπιδὼν ὑμῶν τὰ δάκρυα καὶ τοὺς ὀδυρμούς, καὶ διὰ τοῦτο τῶν δεήσεων ὑμῶν ἐπακούσαντι. ἦτε γὰρ ὡς πρόβατα ἐρριμμένα καὶ ἐσκυλμένα, μὴ ἔχοντα ποιμένα. καὶ διὰ τοῦτο ἐπεσκέψατο ὑμᾶς ὁ ἀληθινὸς ποιμὴν οὐρανόθεν, ὁ τῶν ἰδίων προβάτων κηδόμενος, ἀποδοὺς ὑμῖν ὃν ἐποθεῖτε. ἰδοὺ γὰρ καὶ ἡμεῖς πάντα ὑπὲρ τῆς ἐκκλησιαστικῆς εἰρήνης πράττοντες, καὶ τῇ ὑμετέρᾳ συμπνέοντες ἀγάπῃ, προλαβόντες αὐτὸν ἠσπασάμεθα· καὶ κοινωνήσαντες δι' αὐτοῦ ὑμῖν ταύτας τὰς προσρήσεις διαπεμπόμεθα, καὶ τὰς εὐχαριστηρίους ὑμῶν εὐχάς, ἵν' εἰδῆτε τῷ συνδέσμῳ τῆς ἀγάπης πρὸς αὐτὸν καὶ ἡμᾶς ἡνῶσθαι. ὀφείλετε δὲ καὶ ὑπὲρ τῆς εὐσεβείας τῶν θεοφιλεστάτων βασιλέων εὔχεσθαι· οἵτινες καὶ αὐτοὶ γνόντες τὸν πόθον ὑμῶν καὶ τὴν αὐτοῦ καθαρότητα, ἀποκαταστῆσαι ὑμῖν αὐτὸν μετὰ πάσης τιμῆς κατηξίωσαν. ὑπτίαις οὖν δεξάμενοι αὐτὸν χερσί, καὶ τὰς ὀφειλομένας ὑπὲρ αὐτοῦ εὐχαριστηρίους εὐχὰς ἀναπέμψαι τῷ ταῦτα ὑμῖν χαρισαμένῳ θεῷ σπουδάσατε, ὑπὲρ τοῦ διὰ παντὸς ὑμᾶς χαίρειν σὺν θεῷ, καὶ δοξάζειν τὸν κύριον ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, δι' οὗ τῷ πατρὶ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Caput XXII.

Epiſtola Synodi Hieroſolymitanæ pro Athanaſio.

Sancta Synodus Hieroſolymis congregata, Collegis per Ægyptum & Libyam conſtitutis; Presbyteris item ac Diaconis, & populo urbis Alexandrinæ, chariſſimis ac deſideratiſſimis fratribus, in Domino ſalutem.

Deo optimo maximo dignas gratias agere nequaquam ſufficimus, pro admi- B randis operibus, quæ ſemper antea, & nunc potiſſimum Eccleſiæ veſtræ causâ geſſit, Paſtorem veſtrum, & dominum ac collegam noſtrum Athanaſium vobis reſtituendo. Quis enim unquam ſperavit, ea ſe oculis viſurum eſſe, quæ nunc re ipſa conſecuti eſtis. Sed profectò preces veſtræ exauditæ ſunt à Deo optimo maximo, qui Eccleſiæ ſuæ curam gerit, & qui veſtras lachrymas veſtroſque gemitus inſpexit, atque idcirco poſtulationibus veſtris annuit. Eratis enim tanquam oves disjectæ atque vexatæ, non habentes paſtorem. Propterea vos è C cœlo reſpexit verus paſtor, qui curam gerit ovium ſuarum: vobiſque reſtituit eum quem deſiderabatis. Ecce enim nos qui Eccleſiaſticæ pacis causâ omnia facimus, & qui cum dilectione veſtra conſpiramus, priores illum complexi ſumus: & inita cum eo communione, has ad vos ſalutationes & gratulationes noſtras per illum miſimus, ut intelligatis, nos charitatis vinculo ei conjunctos eſſe. Æquum porro eſt, ut etiam pro pietate Deo chariſſimorum Imperatorum vota faciatis, qui veſtro deſiderio ejuſque viri innocentiâ perſpectâ, eum vobis honorificentiſſime reſtituere di- D gnati ſunt. Cum igitur expanſis manibus eum exceperitis, gratulatorias pro illo preces, uti par eſt, Deo qui iſta vobis tribuit, offerre ſtudete, ut ſemper in Deo gaudeatis, & glorificetis dominum in Chriſto Jeſu domino noſtro, per quem Patri ſit gloria in ſæcula ſæculorum, Amen.